# ΙΩΑΝΝΟΥ Γ΄

1 ο πρεσβυτεροσ γαιω τω αγαπητω ον εγω αγαπω εν
αληθεια
2 αγαπητε περι παντων ευχομαι σε ευοδουσθαι και
υγιαινειν καθωσ ευοδουται σου η ψυχη
3 εχαρην γαρ λιαν ερχομενων αδελφων και
μαρτυρουντων σου τη αληθεια καθωσ συ εν αληθεια
περιπατεισ
4 μειζοτεραν τουτων ουκ εχω χαραν ινα ακουω τα εμα
τεκνα εν αληθεια περιπατουντα
5 αγαπητε πιστον ποιεισ ο εαν εργαση εισ τουσ
αδελφουσ και εισ τουσ ξενουσ
6 οι εμαρτυρησαν σου τη αγαπη ενωπιον εκκλησιασ ουσ
καλωσ ποιησεισ προπεμψασ αξιωσ του θεου
7 υπερ γαρ του ονοματοσ εξηλθον μηδεν λαμβανοντεσ
απο των εθνων
8 ημεισ ουν οφειλομεν απολαμβανειν τουσ τοιουτουσ
ινα συνεργοι γινωμεθα τη αληθεια
9 εγραψα τη εκκλησια αλλ ο φιλοπρωτευων αυτων
διοτρεφησ ουκ επιδεχεται ημασ
10 δια τουτο εαν ελθω υπομνησω αυτου τα εργα α ποιει
λογοισ πονηροισ φλυαρων ημασ και μη αρκουμενοσ επι
τουτοισ ουτε αυτοσ επιδεχεται τουσ αδελφουσ και τουσ
βουλομενουσ κωλυει και εκ τησ εκκλησιασ εκβαλλει
11 αγαπητε μη μιμου το κακον αλλα το αγαθον ο
αγαθοποιων εκ του θεου εστιν ο κακοποιων ουχ εωρακεν
τον θεον
12 δημητριω μεμαρτυρηται υπο παντων και υπ αυτησ
τησ αληθειασ και ημεισ δε μαρτυρουμεν και οιδατε οτι η
μαρτυρια ημων αληθησ εστιν

13 πολλα ειχον γραφειν αλλ ου θελω δια μελανοσ και
καλαμου σοι γραψαι
14 ελπιζω δε ευθεωσ ιδειν σε και στομα προσ στομα
λαλησομεν ειρηνη σοι ασπαζονται σε οι φιλοι ασπαζου
τουσ φιλουσ κατ ονομα

# Η Καινή Διαθήκη

# The Greek New Testament according to the Byzantine Text form. Robinson-Pierpont 2018 edition

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Translation by: Maurice A. Robinson and William G. Pierpont

This public domain Bible translation is brought to you courtesy of eBible.org. If you would like to make a donation to help keep free Bible access like this going, please visit https://eBible.org/give.php.

2024-01-09

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 13 Jan 2024
b320f4f6-a7ea-551a-b958-9885c39d847e